# Συνοδικό τῆς Ζ' Οἰκουμενικῆς Συνόδου



Οἱ Προφῆται ὡς εἶδον, οἱ Ἀπόστολοι ὡς ἐδίδαξαν,ἡ Ἐκκλησία ὡς παρέλαβεν, οἱΔιδάσκαλοι ὡς ἐδογμάτισαν,ἡ Οἰκουμένη ὡς συμπεφώνηκεν, ἡ χάρις ὡςἔλαμψεν, ἡ ἀλήθεια ὡςἀποδέδεικται, τὸ ψεῦδος ὡςἀπελήλαται, ἡ σοφία ὡςἐπαρρησιάσατο, ὁ Χριστὸς ὡςἐβράβευσεν,

Οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν Χριστόν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ τοὺς Αὐτοῦ Ἁγίουςἐν λόγοις τιμῶντες, ἐν συγγραφαῖς, ἐν νοήμασιν, ἐν θυσίαις, ἐν Ναοῖς, ἐν Εἰκονίσμασι, τὸν μὲν ὡς Θεὸν καὶΔεσπότην προσκυνοῦντες καὶ σέβοντες, τοὺς δὲ διὸ τὸν κοινὸν Δεσπότην ὡς Αὐτοῦ γνησίους θεράποντας τιμῶντες καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμονες.

Αὕτη ἡ πίστις τῶν Ἀποστόλων, αὕτη ἡ πίστις τῶν Πατέρων, αὕτη ἡ πίστις τῶν Ὀρθοδόξων, αὕτη ἡ πίστις τὴν Οἰκουμένην ἐστήριξεν.

Ἐπὶ τούτοις τοὺς τῆς εὐσεβείας Κήρυκας ἀδελφικῶς τε καὶ πατροποθήτως εἰς δόξαν καὶ τιμὴν τῆς εὐσεβείας,ὑπὲρ ἧς ἀγωνίσαντο, ἀνευφημοῦμεν καὶ λέγομεν: Τῶν τῆςὈρθοδοξίας προμάχων εὐσεβῶν Βασιλέων, ἁγιωτάτων Πατριαρχῶν, Ἀρχιερέων, Διδασκάλων, Μαρτύρων,Ὁμολογητῶν, Αἰωνία ἡ μνήμη.

Τούτων τοῖς ὑπὲρ εὐσεβείας μέχρι θανάτου ἄθλοις τε καὶ ἀγωνίσμασι καί διδασκαλίαις παιδαγωγεῖσθαί τε καὶκρατύνεσθαι Θεὸν ἐκλιπαροῦντες, καὶ μιμητός τῆςἐνθέου αὐτῶν πολιτείας μέχρι τέλους ἀναδεικνύσθαιἐκδυσωποῦντες, ἀξιωθείημεν τῶν ἐξαιτουμένων, οἰκτιρμοῖς καὶ χάριτι τοῦ Μεγάλου καὶ Πρώτου Ἀρχιερέως Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, πρεσβείαις τῆςὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θεοειδῶν Ἀγγέλων καὶ πάντων τῶν Ἁγίων.

**Πηγή:** Ιερά Μονή Αγίου Ιωάννου Καρέα.

**Επιμέλεια:** π. Στέφανος Κωστόπουλος (Καθεδρικός Ιερός Ναός Αγίας Τριάδος Βύρωνος)